eul_wid: upu-ba

*Ὁμηρικοὶ Ὕμνοι* · Hymnic Collection Anonymous

# Hymn 30 To Earth

*Ὕμνος εἰς Γῆν*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἐπική* Epic (Homeric)
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

Γαῖαν παμμήτειραν ἀείσομαι ἠϋθέμεθλον
πρεσβίστην, ἣ φέρβει ἐπὶ χθονὶ πάνθ’ ὁπός’ ἐστίν·
ἠμὲν ὅσα χθόνα δῖαν ἐπέρχεται ἠδ’ ὅσα πόντον
ἠδ’ ὅσα πωτῶνται, τάδε φέρβεται ἐκ σέθεν ὄλβου.
ἐκ σέο δ’ εὔπαιδές τε καὶ εὔκαρποι τελέθουσι
πότνια, σεῦ δ’ ἔχεται δοῦναι βίον ἠδ’ ἀφελέσθαι
θνητοῖς ἀνθρώποισιν· ὁ δ’ ὄλβιος ὅν κε σὺ θυμῷ
πρόφρων τιμήσῃς· τῷ τ’ ἄφθονα πάντα πάρεστι.
βρίθει μέν σφιν ἄρουρα φερέσβιος, ἠδὲ κατ’ ἀγροὺς
κτήνεσιν εὐθηνεῖ, οἶκος δ’ ἐμπίπλαται ἐσθλῶν·
αὐτοὶ δ’ εὐνομίῃσι πόλιν κάτα καλλιγύναικα
κοιρανέους’, ὄλβος δὲ πολὺς καὶ πλοῦτος ὀπηδεῖ·
παῖδες δ’ εὐφροσύνῃ νεοθηλέϊ κυδιόωσι,
παρθενικαί τε χοροῖς φερεσανθέσιν εὔφρονι θυμῷ
παίζουσαι σκαίρουσι κατ’ ἄνθεα μαλθακὰ ποίης,
οὕς κε σὺ τιμήσῃς σεμνὴ θεὰ ἄφθονε δαῖμον.
Χαῖρε θεῶν μήτηρ, ἄλοχ’ Οὐρανοῦ ἀστερόεντος,
πρόφρων δ’ ἀντ’ ᾠδῆς βίοτον θυμήρε’ ὄπαζε·
αὐτὰρ ἐγὼ καὶ σεῖο καὶ ἄλλης μνήσομ’ ἀοιδῆς.